Ὁ Ν'. Δόξα. Ταῖς τῆς σῆς Ὁσίας. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Καὶ τὸ ἰδιόμελον. Ἦχος β'. Φρονήσει ἐγκοσμουμένη. Ζήτει εἰς τὸν μικρὸν ἑσπερινόν.

*Καὶ οἱ κανόνες τῆς Θεοτόκου πρῶτον εἶτα τῆς Ἁγίας. Ἦχος δ'*

Παρθενίας βλάστημα Παρασκευὴν ἀναμέλψει θαλάσσης τὸ ἐρυθροῦν πέλαγος.

Παράσχου παμβασιλεῖ ἀόρατε χάριν ἐξ ὕψους μοι, τοῦ ἀνυμνῆσαι θείας ἀρετὰς τῆς Ὁσίας σου σήμερον, ἃς ἐκτελέσαι ἴσχυσαι κυβερνωμένη τῇ δυνάμει σου.

Ἀπλάστῳ Παρασκευὴ φρονήματι καὶ ἀφελότητι ψυχῆς ἰδέαις πάσαις ἀρετῶν, σαὐτὴν κατεκόσμησας, καὶ ἦθος ἐναπέφαινες πρεσβυτικὸν ἐν νέῳ σώματι.

Ρυθμίζειν διηνεκῶς μεμάθηκας, πάσας τὰς πράξεις σου, Παρασκευὴ Ὁσία καὶ ὁρμὰς καὶ βουλὰς καὶ κινήματα τῆς σωφροσύνης μέλεσι σαρκὸς πραΰνουσα σκιρτήματα.

Θαυμάσια ἐκτελῶν φιλάνθρωπε ἐν τοῖς ἁγίοις σου, ὡς θαυμαστὸς ὑπάρχει ἀληθῶς, διὰ τοῦτο ἐν θαύμασι, δοξάσας τὴν Ὁσίαν σου τὸ ὄνομά σου ἐμεγάλυνας.

*Θεοτόκιον*

Ἐδέξω ἐν γαστρί σου πανάμωμε τὸν σὲ ποιήσαντα, δι' ἀκοῆς καὶ δέδωκας αὐτῷ σοῦ τὴν φύσιν καὶ τέτοκας μετὰ σαρκὸς τὸν ἄσαρκον, κλήσει Μητρὸς σὲ μεγαλύναντα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

῞Ετερος κανὼν οὗ ἡ ἀκροστιχίς : Παρασκευὴν τὸ σκεῦος Χριστῷ ὑμνήσω.

*῏Ηχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Παρασκευὴν τὴν ἐν Ὁσίαις πράξεσιν ἐκκαθαρθεῖσαν, φαιδρῶς, καὶ γενομένην σκεῦος ἱερώτατον, τοῦ παναγίου πνεύματος εὐφημεῖν προθεμένῳ χάριν μοι δός πολυέλεε, ἵν᾽ αὐτὴν γεραίρων δοξάσω σε.

Ἀπὸ νεότητος σεμνὴ ἀπέρριψας, πᾶσαν τρυφὴν τῆς σαρκός, πλοῦτον τε καὶ δόξαν οἷά περ κωλύματα, τῆς πρὸς Θεὸν πορείας σου, καὶ αὐτῷ μόνῳ μῆτερ, προσεκολλήθης, δι᾽ ἔρωτος καὶ εὐθέων ἔργων ἀσκήσεως.

Ρωμαλαιότητι φρενῶν κατέβαλες, τὸν παλαιὸν πτερνιστὴν οὐκ ἀνασχομένη ὥς εἰ ψιθυρίσαι σου εἰ βουλὴν τούτου δέξασθαι, ἀλλ᾽ ὡς νύμφη ἐχέφρων τὰς ἐντολὰς τοῦ Κυρίου σου, κρύπτουσα τὴν πλάνην ἀπέφυγας.

*Θεοτόκιον*

Ἀγαθαδότης ὁ υἱός σου Πάναγνε, εὐεργετήσας ἡμᾶς, πᾶσι τοῖς ἀνθρώποις, προστασίαν ἄμαχον, καὶ κραταιὰν βοήθειαν σὲ παρέσχε, δι᾽ ὃ σοὶ προσπίπτοντες ἀνακράζομεν σῶσον ἡμᾶς πάντας πρεσβείαις σου.

*Ὠδὴ δ΄. Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει*

Ἰδοῦσα μῆτερ τὰ τοῦ κόσμου τερπνὰ μεταβαίνοντα εἰς κατήφειαν δεινήν, ἐν λογισμῷ σταθερῷ τὴν χαρὰν δάκρυνσιν ἠγώνισαι εὑρεῖν τὴν ἄληκτον.

Νουνεχῶς ὄντως, οὐ πλοκαῖς τῶν τριχῶν ἢ ἐνδύμασιν ἀνθηροῖς, ἢ διαυγῶν ἐν περιθέσει λιθάκων σαυτὴν ἐκόσμεις, ἀλλ᾽ ἄνθεσι ὡραίοις πνεύματος.

Ἡ ἔφεσίς σου πρὸς Θεὸν ἀναφθεῖσα τοῖς ἄνθραξι, τῆς ἐρήμου ἀληθῶς, οὐκ εἴα στέγειν τὸν σὸν λογισμὸν ἕως οὗ κατέλαβες τῶν ὀρεκτῶν τὴν πηγήν.

*Θεοτόκιον*

Σὺ παρθενίας, Θεοτόκε τὸν ἔρωτα ἔσπειρας ταῖς καρδίαις τῶν σεπτῶν γυναίων ὄντως παρθένε ἁγνή, καὶ σὺ ταῖς πρεσβείαις σου τηρεῖς ἀμόλυντα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ἄλλος. Ὁ στερεώσας κατ' ἀρχὰς*

Συσταυρωθεῖσα τῷ Χριστῷ τῇ ζωηφόρῳ νεκρώσει, τὴν ζωὴν τὴν ἀκατάληκτον εὗρες, καὶ νῦν ζῇς ἐν οὐρανοῖς, μετὰ δικαίων ἔνδοξε, ὡς μαρτυρεῖ ἐν κόσμῳ τὰ μετὰ πότμον σου θαύματα.

Κατακοσμήσασα σαυτὴν τῶν ἀρετῶν ποικιλίᾳ ὡραιώθης ἐναντίον Κυρίου, καὶ ἠράσθη σου σεμνὴ τοῦ κάλλους καὶ προσήκατο νύμφην ἠγλαϊσμένην ἐν οὐρανοῖς ὁ ὑπέρθεος.

Ἐπαίνοις στρέφεται πολλοῖς ἡ Ἰαὴλ καθελοῦσα τὸν Σισάρα ἐν ξυλίνῳ πασσάλῳ σὲ δέτις Παρασκευὴ ἀξίως ἐπαινέσοιε τῷ Σταυρῷ τοῦ Κυρίου, συντρίψασα τὸν ἀρχέκακον.

*Θεοτόκιον*

Υἱὸν ἐγέννησας σαρκί, ὃν ὁ Πατὴρ πρὸ αἰώνων συνανάρχως ἐξ ἰδίας οὐσίας ἀνεγέννησεν ἁγνὴ ἀΰλως, δι' ὃ πάντες σὲ κυρίως Θεοτόκον, ὁμολογοῦντες σωζόμεθα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσὴφ*

Ἀσθενείᾳ τῆς σαρκός, τὸν θρασυνόμενον ἐχθρὸν κατεπάλαισες σεμνή, καὶ τὴν τοῦ πνεύματος ἰσχύν, τῇ διαθέσει οὐκ ἔσεσθαι τῶν σωμάτων, ἐγνώρισας σαφῶς Παρασκευή, καὶ Χριστοῦ τὸν λόγον ἀληθῆ τοῖς ἔργοις ἔδειξας, ἡ δύναμίς μου λέγοντος ἐν ἀσθενείᾳ τελειοῦται, ὡς γέγραπται, ὁ ἐνισχύων τοὺς σοὺς ἁγίους φιλάνθρωπε Κύριε δόξα σοι.

*Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτόκιον*

Τρικυμίαις τῶν παθῶν, ὁ ἀσυνείδητος ἐγὼ χειμαζόμενος ἁγνή, ἐπικαλοῦμαι σὲ θερμῶς. Μὴ μὲ παρίδῃς τὸν δείλαιον ἀπολέσθαι, ἄβυσσον ἐλέους ἡ τέξασα, πλὴν σοῦ γὰρ ἐλπίδα οὐ κέκτημαι· μὴ οὖν ἐχθροῖς ἐπίχαρμα τελείως ὁ πεπειθώς σοι ὀφθήσομαι· καὶ γὰρ ἰσχύεις ὅσα καὶ βούλει ὡς μήτηρ τῶν πάντων Θεοῦ.

*Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ*

Βέλος ὄντως ἀνεδείχθης ἐν χερσὶ δυνατοῦ Θεοῦ, ὃ ἐξηκοντήθη ἄρωτι Κυρίου ὡς ἄνθραξιν ἀρυμικοῖς, δι' ὃ μῆτερ ἐγκατέτρωσας καὶ ἐτέφρωσας τῶν ἀλαστόρων τὰ πρόσωπα.

Λόγον ἅλατι νοστίμῳ ἠρτημένῳ προσφέρουσα, μειλιχίῳ γλώσσῃ

ἔφης ἀρετῆς πρὸς τὸ ἄναντες τὰς μοναζούσας πειθοῖ ἀφεπομένας σοι, διευθύνουσα ἔργοις καὶ λόγοις τὴν ποίμνην σου.

Ἀνατέταλκε σοι Μῆτερ, φῶς ἐξ ὕψους, τὴν σύζυγον αὐτῷ εὐφροσύνην συνεπιφερόμενον ἔνδοξε, καὶ γὰρ ἐφάνης δικαία διαιτήσασα μεταξὺ σαρκὸς καὶ ψυχῆς μετ' εὐθύτητος.

*Θεοτόκιον*

Συνεδρεύων ὁ Υἱός σου, σὺν Πατρὶ παντοκράτορι καὶ πληρῶν τὰ πάντα ἐν ἀπεριγράπτῳ θεότητι ταῖς σαῖς ὠλέναις κρατεῖται θεονύμφευτε αὐθυπόστατος, θαῦμα φρικτὸν καὶ παράδοξον.

*Ἄλλος Σύ μου ἡ ἰσχὺς Κύριε*

Ἡ Ἰουδὴθ νηστείαις τε καὶ δεήσεσιν, ὁπλισθεῖσα ἀνδρικῶς κατέβαλε, τὴν Ὀλοφέρνου δεινὴν ὀφρύν, σὺ δὲ σαρκίον τὸ ἁπαλὸν κατατήξασα πολλαῖς δεινοπαθείαις, κοσμοκράτορος σκότους τῇ ἰσχύϊ Χριστοῦ ἐναπέσφαξας.

Νοῦν ἀμιγῆ τῶν χαρακτήρων φυλάττουσα τῶν τοῦ κόσμου, ὅλη ἐνητένιζες τῷ Παντοκράτορι Θεῷ, ἐξ οὗ θεωθεῖσα ὡς ἄγαλμα ἀναδέδειξαι θεότευκτον Ὁσία καὶ νῦν τῶν πρωτοτόκων ἐκκλησίαν κοσμεῖς θείαις χάρισι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τίς τοὺς πολλοὺς ἱδρῶτας τῆς σῆς ἀσκήσεως ἐξισχύσῃ συγκεφαλαιώσασθαι Παρασκευὴ νύμφη τοῦ Χριστοῦ, εὐχὰς τὰς συντόνους τὰς ἀγρυπνίας τὰ δάκρυα καὶ τὴν τῶν δεομένων συμπαθῆ προστασίαν εἰς ζωὴν ἐξωνήσω τὴν μέλλουσαν;

*Θεοτόκιον*

Ὅλη ἐν σοί, ἡνώθη ἡ ὑπεράρχιος φύσις κόρη, ἐν μιᾷ τελείᾳ τε τῇ ὑποστάσει τῇ ἑαυτῇ λόγῳ ἀνάρχῳ ὃν ἐν σαρκὶ ἀπεκύησας, ἐν δύο ταῖς οὐσίαις, τὸν αὐτὸν υἱὸν ἕνα ἐν θεότητι καὶ ἀνθρωπότητι.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα*

Τοῖς πένησιν ἔνειμας τὸν πλοῦτον δαψιλέστατα σιτῶν, ἀφαρπάσασα κλεπτῶν τε καὶ γὰρ ἐπόθεις ἐν οὐρανοῖς ἐφευρεῖν, θησαυρὸν τὸν ἄσυλον σεμνή, ὃν Χριστὸς ὑπέσχετο δι' αὐτὸν τοῖς πτωχεύσασι.

Ἡμέρας τὸν καύσωνα καὶ παγετὸν τὸν ἔννυχον ἤνεγκας πολλῇ ἐν ταπεινώσει καὶ καρτερίᾳ εἰς τὰς ἐρήμους σεμνή, σχολάζουσα ἔτεσε μα-

κροῖς, δι᾿ ὃ τὴν παράκλησιν σοὶ Χριστὸς ἐδωρήσατο.

Μωσέως ἡ σύγκονος Μαρία ἐπίνικον ὕμνει τοῦ Σωτῆρος ἐν τυμπάνῳ, σὺ δὲ τὸ σῶμα τῷ λογικῷ τῆς ψυχῆς, συναρμολογήσασα καλῶς, ὕμνεις τὸν ποιήσαντα δεκαχόρδῳ ἐν φόρμιγκι.

*Θεοτόκιον*

Ἀνάρχως ἐκλάμψαντι, ἐκ τοῦ Πατρὸς θεόνυμφε ἀρχὴν ἐπηγάγω κατὰ σάρκα, καὶ ἀνεφάνης ἀρχὴ τῆς ὄντως ἀρχῆς, τῆς τεκτηναμένης ἀληθῶς πᾶν τὸ δημιούργημα ὁρατὸν καὶ ἀόρατον.

*Ἄλλος. Ἵνα τί μὲ ἀπώσω*

Σκῆνος τὸ σὸν ὑπάρξαν, σκήνωμα τοῦ πνεύματος, κρήνη γεγένηται βρύον ἀενάως ἰαμάτων παντοίων, χαρίσματα τοῖς προσερχομένοις ἐν τῷ σεπτῷ μῆτερ ναῷ σου, καὶ προσψαύουσι πίστει σῆς κόνεως.

Καταλλήλως τῇ κλήσει ἐμπαρασκευάσασα σαὐτὴν πανεύφημε τὴν ὁδὸν Κυρίου ἀκλινῶς ἐπορεύθης καὶ ἔφθασας πρὸς λιμένα θεῖον, μὴ ταραχθεῖσα ταῖς τοῦ βίου ἀλλοιώσεσιν ὅλως ἐν χάριτι.

Εὗρες ἄπονον λῆξιν πόνοις τῆς ἀσκήσεως, καὶ γὰρ πεπείρασαι γυνὴ ἀνδρεία, ὅτι λίαν καλὸν τὸ ἐργάζεσθαι τὰ Κυρίου ἔργα, καὶ διὰ τοῦτο τῆς ψυχῆς σου οὐκ ἐσβέσθη ὁ λύχνος οὐδέποτε.

*Θεοτόκιον*

Ὑπὲρ πᾶσαν οὐσίαν κτίσεως, ὑπέρκεισαι Μαρία ἔνδοξε, σὺ γὰρ μόνη ὄντως, τὴν οὐσίαν τοῦ πλάστου σου δέδεξαι ἐν γαστρὶ καὶ σάρκα ἐδάνεισας σῶν ἐξ αἱμάτων καὶ υἱόν σου καλέσαι ἠξίωσας.

*Ὠδὴ στ΄. Ἐβόησες προτυπῶν*

Πεπόρευσαι τὴν ὁδὸν τοῦ βίου πανεύφημε, τῶν σῶν πόνων ἐν κλαυθμῷ βαλλομένη τὰ σπέρματα, Θεῷ δὲ στραφεῖσα ἐν χαρᾷ συγκομίζεις τὰ δράγματα.

Ἀλάβαστρον τὸ σὸν σῶμα ὑπῆρχε, τὰ δάκρυα ὥσπερ τὸ μῦρον ἐκκενοῦν καθ᾿ ἑκάστην τῷ πλάστῃ σου δι᾿ ὃ μετὰ πότμον κρήνη ὄντως ἰάσεων γέγονε.

Ρυθμίζεται πᾶς ὁ βλέπων τὸν βίον σου ἔνδοξε, εὐγνωμόνως καὶ γὰρ ὤφθη κανὼν ἀκριβέστατος ἀρετῆς ἁπάσης μοναζόντων τὰ στάθμη σωτήριος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Θεοτόκιον*

Ἁπάντων σὲ τῶν κτισμάτων ὁ Κύριος ἔδειξεν ἀνωτέραν, καὶ γὰρ πάντας κρατῶν ὁ ὑπέρθεος ἐν σοὶ ὑπετάγη ὡς μητέρα δοξάζων σὲ πάναγνε.

*Ἄλλος. Ἰλάσθητί μοι Σωτὴρ*

Ὁ ἔρως ὁ τοῦ Χριστοῦ, εἰσοικισθεὶς ἐν καρδίᾳ σου, ἀνέπεισε τὰ τερπνὰ τοῦ κόσμου ὡς σκύβαλα λογίζεσθαι ἅπαντα, ἵνα τοῦτον μόνον ὡς νυμφίον σου κερδίσειας.

Συνθέτω Παρασκευὴ εἰδυῖα ἐν θυμιάματι ἱλάσασθαι τὸν Θεόν, ψυχὴν καὶ τὸ σῶμα αὐτῷ προσενήνοχας σύνθετον ὡς μύρον καὶ εὐπρόσδεκτον ὡς θυμίαμα.

Χαρᾶς πληροῦται ἡ γῆ τῶν Μολδάβων ἐν πνεύματι κατατρυφῶσα τῶν σῶν θαυμάτων πανέντιμε καὶ γὰρ σὲ ἐπλούτισε προστάτην καὶ ῥύστιν ἐν πολέμοις ἀπροσμάχητον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Θεοτόκιον*

Ῥομφαία τῶν δυσεβῶν κατατρεχόντων τὴν ποίμνην σου, εἰς τὰς καρδίας αὐτῶν εἰσέλθοι πανάμωμε, καὶ τὰ τόξα σύντριψον αὐτῶν, σαῖς πρεσβείαις, συντηροῦσα τοὺς ἱκέτας σου.

*Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν*

Νηστείαις πολλαῖς τὸ σῶμα κατατήξασα τὸν νοῦν πρὸς Θεὸν ἀνύψωσας μετάρσιον καὶ ζωὴν ἀσώματον μετὰ σώματος ἔζης ἀείμνηστε, λιποῦσα τῆς ὕλης τὸν τάραχον δι᾽ ὃ νῦν χορεύεις σὺν ἀγγέλων χοροῖς.

*Ὁ Οἶκος*

Ἀγγέλων βίον ἐπὶ γῆς ζηλώσασα Ὁσία ἁγνείαν κατησπάσω καὶ ὕμνον ἄπαυστον Θεοῦ, δι᾽ ὃ καὶ προσπαθείας πάσης χωρίσασα σαυτὴν οὐδὲν ἴδιον ἔσχες ἐν κόσμῳ τῷ προσκαίρῳ, ἀλλ᾽ ἅμα πάντα φέρουσα, παρέδωκας τῷ κτίστῃ σου, πλοῦτον, πατρίδα, συγγένειαν, εὐγένειάν τε τὴν πλαστήν, καὶ κάλλος τὸ τοῦ σώματος, ὡς πάροικος διάγουσα καὶ στένου πρὸς τὴν ἄνω πόλιν, ἧς δημιουργὸς ὁ κτίστης καὶ Κύριος, ὁ σὲ προσκαλεσάμενος πρὸς τὰς ἐκεῖθεν μονάς, ἀγαλλομένην καὶ χαίρουσαν. Νῦν γὰρ συγχορεύοις τοῖς ἀγγέλων χοροῖς.

Μηνὶ Ὀκτωβρίῳ ιδ΄. Τῆς Ὁσίας μητρὸς ἡμῶν Παρασκευῆς.

Παρασκευὴν εἰς σκεῦος ἐκλελεγμένον Χριστὸς τίθησιν ἐν ταμείῳ τοῦ πόλου.

*Ἀναγιγνώσκεται ἡ βιογραφία τῆς Ὁσίας*

*Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρὶ*

Σὲ τὸν ἰσχύϊ θεϊκῇ τὴν ἐξασθενήσασαν φύσιν ἐνδυναμοῦντα τοῦ Ἀδάμ, ὡς καὶ γύναια παίζειν τὸν δράκοντα τὸν δεινῶς ὠρυόμενον, ἀνυμνοῦντες εὐλογοῦμεν εἰς τοὺς αἰῶνας.

Καυχῶνται ὄντως ἐν σοὶ πάντες τῶν ὁσίων οἱ δῆμοι, δόξα παντάρχα βασιλεῖ καὶ ἐν κοίταις αὐτῶν νῦν καθεύδοντες ταῖς μοναῖς αἷς διώρισας, χαρᾷ χαίρουσιν ἀλήκτῳ ὡς Δαυΐδ ἔφη.

Εὐφραίνου πόλις ἐν Χριστῷ ἡ τῆς Μολδαυΐας κρατοῦσα σκῆνος σεπτὸν Παρασκευῆς, ἐν τοῖς κόλποις σου ὥσπερ θησαύρισμα, δωρεὰν ἀδαπάνητον, καὶ Θεὸν τὸν τῶν πατέρων ἡμῶν εὐλόγει.

Ὕψους ὁ μέγας βασιλεὺς καὶ ἐν ἐκκλησίᾳ ἀνάσσων, ὥσπερ ἐν πόλῳ, ὑμνητὰς τῶν ἀγγέλων τοὺς δήμους ἀνέδειξεν, οὕτω δὲ καὶ κατέστησε τῶν ἁγίων τὰς χορείας ἐν ἐκκλησίᾳ.

*Θεοτόκιον*

Ἥττηται ὄντως ἡ ἰσχὺς ἡ δαιμονικὴ καὶ πατεῖται τοῦ σατὰν πᾶσα ἡ ὀφρύς, θηλυῶν ἐν ποσὶ τῇ ἰσχύϊ σου, Θεοτόκε πανάχραντε, σὺ γὰρ τούτων πρώτη πάντων ἐξεφαυλίσω.

*Ἄλλος. Θεοῦ συγκατάβασιν*

Ἰδού σοι παρίστανται, Ὁσία Μῆτερ ἱερωμένων πληθύς, ἡγεμόνων τὸ κῦδος, χορὸς ἀρχόντων, γλῶσσαι, φυλαὶ καὶ λαοί, παντοίων γένους ἐν πίστει προσπίπτοντες τοῦ εὑρεῖν λύσιν δεινῶν ταῖς ἱκεσίαις σου.

Σπλαχνίσθητι Δέσποτα, τοῖς σοῖς ἱκέταις, μὴ παραδώσῃ ἡμᾶς πολεμίους ἀθέοις τοῖς ἐκζητοῦσιν καταπιεῖν ἀφειδῶς δυσωπηθεὶς τὰς δεήσεις τῆς δούλης σου Παρασκευῆς τῆς σεπτῆς, ἀγαπηθείσης ἐκ σοῦ.

Τὴν πόλιν ὡς ἔσωσας, τὴν ἱεράν σου διά τε σὲ καὶ Δαυΐδ, τὸν πιστόν σου ἱκέτην, οὕτω καὶ ταύτην τὴν πόλιν τῇ σῇ χειρί, Παντάναξ σκέπε ἐκ πάσης κακώσεως, διὰ τοὺς σοὺς οἰκτειρμοὺς τῆς σῆς Ὁσίας λιτοῖς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Θεοτόκιον*

Ὁ θέλων ὡς εὔσπλαχνος τὴν σωτηρίαν πάντων ἀνθρώπων Θεός, σὲ μεσίτριαν κόσμου παντὸς καὶ σκέπην ὅλου τοῦ γένους ἡμῶν, παρθενομῆτερ Μαρία ἐστήσατο, δι᾽ ὃ βοῶμεν πρὸς σὲ σῶσον ἡμᾶς σαῖς εὐχαῖς.

*᾿Ωδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Νάμασι τῶν θείων προσευχῶν σου, τὸν ῥύπον τὸν τῆς καρδίας μου ἀπόσμηξον, πάθη κατακλύζουσα τὰ καταποντίζοντα τὴν ταπεινήν μου ἔνδοξε ψυχήν, καὶ δεῖξόν με ἐναντίον τοῦ Θεοῦ καὶ πλάστου μου καθαρόν, μετανοίας τοῖς δάκρυσι.

Ἅπασαν τοῖς ἔργοις ἐπιβᾶσα ἰδέαν τῶν ἐγκοσμίων καλλιπάρθενε, τὸ μικρὸν ἐφύμνιον ὃ σοὶ προσηγάγομεν ἵνα ἀφοσιώσωμεν τὸν πρὸς σὲ ἔρωτα, μὴ παρόψῃ ἀλλ᾽ ὡς χριστομίμητος εὐμενῶς ὑμνητής σου ἐπίσκεψαι.

Νάρδου εἰς τὸν οἶκον ὁ Νυμφίος τὴν νύμφην τὴν ἑαυτοῦ εὐωδιάζουσαν ἀρετῶν ἐν ἀνθεσιν, ποικίλοις εἰσήγαγε, Παρασκευὴν τὴν ἔνδοξον καὶ ταύτην ἔπλησεν ὀσμῆς τῆς νοητῆς παραδείσου, δι᾽ ὃ ἐκδιώκει παθῶν τὰς δυσωδίας.

*Θεοτόκιον*

Ἄνωθεν ἡμᾶς μυσταγωγοῦσι, κρυφίως τὰ Σεραφεὶμ ἀΰλοις στόμασι μίαν κυριότητα σέβειν τρισυπόστατον, ἣν ὁ υἱός σου, Πάναγνε τρανῶς ἐδίδαξεν πατρὸς ἀποκαλύψας τὴν κλῆσιν, καὶ αὐτοῦ Υἱοῦ τε καὶ Πνεύματος ἁγίου.

*Ἄλλος. Ἑπταπλασίως κάμινον*

Ὑψοποιὸν ταπείνωσιν, ἄμαχόν τε ὡραιότητα πένθος χαρμόσυνον ἀποτίκτον ἔχουσα, σεμνὴ ἐν τῇ καρδίᾳ σου, τοῦ μακαρισμοῦ ἐν οὐρανοῖς ἠξιώθης, μετὰ τὸ βίου τέλος ἐν μοναῖς δικαίων συμψάλλουσα Ἀγγέλοις Χριστῷ εἰς τοὺς αἰῶνας.

Ὑπεριπτᾶσα ἔνδοξε παρθενείας ἐν πτέρυξι πάντων τῶν ἐνύλων παθημάτων ἔφθασας εἰς θείαν ἀκρότητα τῆς ἀπαθείας, ὅθεν φαιδρῶς ταῖς ἀγγελικαῖς νῦν συναυλίζει χορείαις, εἰλικρινῶς τὸ κτίστου ἀπολαύουσα κάλλος, καὶ τούτου τὰς ἐμφάσεις ἀλήκτως δεχομένη.

Μέμνησο τῶν τὴν μνήμην σου ἐκτελούντων ἀοίδιμε, πάσης λυ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τρουμένη ἐπηρείας βλάβης τε ἐχθροῦ πολεμήτορος, καὶ νοσημάτων καὶ παντοδαπῶν, καὶ τῆς τῶν ἀνδρῶν τῶν μιαιοφόρων κακίας, δεινῶς ἐπεμβαινόντων τῇ σῇ ποίμνῃ Θεὸς γὰρ σαῖς προσευχαῖς Ὁσία κάμπτεται φιλανθρώπως.

*Θεοτόκιον*

Νὺξ τῶν παθῶν καλύπτει με, εἰς βυθὸν παραπέμπουσα τὸν τῆς ἀπωλείας ὦ Τριὰς ὑπέροχε, τὸ φῶς τὸ ἀΐδιον παρ᾽ οὗ οὐκ ἔστι παραλλαγή, σὴν φωτιστικὴν ἐξαποστέλλουσα χάριν, καὶ τὴν ἀλήθειαν σου, δι᾽ αὐτῶν μοὶ ὡδήγει εἰς ὄρος ἅγιόν σου, καὶ σκηνώματά σου.

*Ὠδὴ θ΄. Ἅπας γηγενὴς*

Μόνε Βασιλεῦ! παντάρχα ἀόρατε σὲ μεγαλύνομεν, σοὶ μόνον λατρεύομεν, εἰς σὲ θαρροῦμεν, εἰς σὲ ἐλπίζομεν καὶ τοὺς σοὺς φίλους δέσποτα καταγαιρέροντες συγκινοῦμεν εἰς εὐπαρρησίαστόν σοι πρεσβείαν δι᾽ ὧν προσκυνοῦμεν σέ..

Ἔχεις πρὸς τὸν σὸν νυμφίον, πάνσεμνε, ὡς καλλιπάρθενος, παρρησίαν ἔντολμον, καὶ δὴ συνοῦσα τούτῳ ἀείποτε, αἴτησον ἐν ὀνόματι αὐτοῦ τοῖς δούλοις σου, σωτηρίαν καὶ βίου διόρθωσιν τοῖς θερμῶς ἐκτελοῦσι τὴν μνήμην σου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Λόγε τοῦ Θεοῦ, ὁ σπλάχνοις οἰκείοις σου παρακαλούμενος κάμφθητι δεήσεσι καὶ τῆς Ὁσίας ἱκετευούσης σε τοὺς ἡγεμόνας κράτυνον τοὺς φιλοχρίστους ἡμῶν, καὶ τὴν πόλιν ταύτην διαφύλαξον ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ψεύδους τὸν δεινὸν ἐργάτην κατέρραξας εἰς γῆν πανεύφημε, πόνοις τῆς ἀσκήσεως καὶ ταῖς παννύχοις Ὁσία στάσεσι, τὸν γὰρ σταυρὸν ὡς γέγραπται τὸν τοῦ Κυρίου σου ἀραμένη ἐπὶ ὤμων, ἔφθασας πρὸς οὐράνιον δόξαν καὶ ἄληκτον.

*Θεοτόκιον*

Ὦ Μῆτερ Θεοῦ, πηγὴν τῆς χρηστότητος ἡ ἀποτέξασα, τὴν σὲ ἀναδείξασαν ποταμὸν ὄντως καλῶν ἀείρρυτον, σαῖς μεσιτείαις ἄρδευσον τὴν ξηρανθεῖσαν μου ἁμαρτίαις ψυχήν, καὶ ἀξίωσον τῆς τρυφῆς τοῦ χειμάρρου τοῦ τόκου σου.

*Ἄλλος. Ἐξέστη τὰ σύμπαντα*

Ἠνοίγη σοι παρθένε ὁ οὐρανός, ἑπομένη προθύμως τοῖς ἴχνεσι

τοῖς ἱεροῖς τῆς ἀειπαρθένου Μητρὸς Θεοῦ, τὰ δὲ ἀγγέλων τάγματα τὴν ἁγνὴν ψυχήν σου περιχαρῶς συνέλεξαν ἐν στάσει παρθένων λαμπροφόρων ὡς συγγενῆ αὐταῖς καὶ ἔντιμον.

Συνέσει ἀρρενώσασα τὴν ψυχήν, ἐν σεμνότητι πάσῃ ἐτήρησας τὸ τῆς σαρκὸς σκεῦός σου, Ὁσία Παρασκευή, νηστείαις χαμευνείαις τε τοῦτο κατατήκουσα ἀφειδῶς, δι' ὃ καὶ ὁ Δεσπότης ἀλώβητον φυλάττων κρήνην θαυμάτων ἐναπέφηκεν.

Ὡραίαν σὲ ὡς νύμφην τοῦ παντουργοῦ ὡς παρθένον ἀνύστακτον, φέρουσαν τὴν ψυχικὴν δαψιλεῖ ἐλέῳ δᾷδαν τὴν σήν, ὡς τοῦ γάμου ἄμφιον ἱερὸν τηρήσασαν καὶ φαιδρόν, ὅλην ἑτοιμοτάτην εἰς τοὺς τερπνοὺς θαλάμους ὁ σὸς νυμφίος εἰσηγάγετο.

*Θεοτόκιον*

Ὢ δόξης ἧς ἀξίωται γηγενῶν, ἡ ἀπόρρητος φύσις πανάμωμε, διὰ τοῦ σοῦ τόκου τοῦ πανάγνου τε καὶ φρικτοῦ τὸν γὰρ Ἀδὰμ τὸν πρότερον ὃν φλογὸς ῥομφαίᾳ ἐκ τῆς Ἐδὲμ ἐδίωκεν, ὁρῶμεν ἐν τῷ Υἱῷ σου, Κόρη, Πατρὶ ὑψίστῳ συγκαθήμενον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ἐξαποστειλάριον*

Τὸ παρθενίας ἄγαλμα, σωφροσύνης τὸ κάλλος, τὸ ἐγκρατείας καύχημα καὶ ἀνδρείας τὸν πύργον, Παρασκευὴν τὴν Ὁσίαν ὕμνοις τῶν ἐγκωμίων τιμήσωμεν θεόφρονες, πρὸς αὐτὴν ἐκβοῶντες, ῥῦσαι ἡμᾶς τῶν σκανδάλων πάντων τοῦ ἀλλοτρίου καὶ σῶσον ταῖς πρεσβείαις σου, ἐν ἡμέρᾳ τῆς δίκης.

*Θεοτόκιον*

Παρθένε παναμώμητε, ἡ τεκοῦσα ἐλέους τὴν ἄβυσσον, ἐπίσκεψαι τὰς ἡμῶν ἀσθενείας, ἐν εὐμενῇ σου προσώπῳ. Οἱ γὰρ μώλωπες ὄντως ἡμῶν ἤδη προσώζεσαν καὶ ἐσάπησαν Κόρη, ἀπὸ πολλῆς ῥαθυμίας καὶ ἀναισθησίας, ὑφ' ὧν ἀνεπιμέλητα φέρομεν ἕλκη πάντα.

Εἰς τοὺς αἴνους Στιχηρὰ προσόμοια, ἦχος α'.

*Τῶν οὐρανίων ταγμάτων*

Παρασκευῆς ἐν ᾀσμάτων τὴν μνήμην ἄνθεσι, κοσμήσωμεν, αὐτὴ γὰρ ἀπ' ἀρχῆς στρατευθεῖσα Χριστῷ τῷ στρατιάρχῃ τῶν θείων ψυχῶν, ταῖς τοῦ βίου οἰδέποτε πλοκαῖς δεδέσθαι ἠνέσχετο καὶ Χριστὸς ὡς εὐάρεστον κατέστρεψε

Τὰ μεγαλεῖά σου λόγε καὶ αἱ ὑψώσεις σου ἐν λάρυγγι ὁσίων μετὰ δόξης κροτοῦνται, χερσὶ δὲ τούτων ὄντως ῥομφαῖαι φρικταὶ ἐνορῶνται καὶ δίστομοι, δι᾿ ὧν ἐκδίκησιν πᾶσαν κατὰ ἐχθρῶν ἀπεργάζεται τῆς δόξης σου.

Δαυῒδ ὁ θεῖος τὸ πάλαι μελωδῶν ἔλεγε, Σῶσον μὲ ὁ Θεός μου, ὅσιος γὰρ τὸ ὅλον, ἐξέλιπε τῶν τῆδε, ἐγὼ δὲ πρὸς σὲ ἀνακράζω τοῦ σῶσαί με διὰ τὸ πλῆθος ὁσίων τῶν σῶν, οὓς ἡγίασας ὀφθεὶς ἐπὶ γῆς.

Ὁ ζωγραφήσας τὸν πόλον ποικίλοις ἄνθεσι, ἀστέρων ὡς Δεσπότης, αὐτὸς τὴν ἐκκλησίαν ἐκόσμησεν ἁγίων ποικίλοις χοροῖς οἷς ἐκλάμπει καὶ ἡ πανένδοξος Μήτηρ Παρασκευὴ ὡς ἀστὴρ ἀειλαμπέστατος.

*Δόξα. Ἦχος πλάγ. δ΄*

Ἐν τῷ σκηνώματι τοῦ Κυρίου σου, καὶ ἐν ὄρει ἁγίῳ αὐτοῦ κατεσκήνωσας παμμακάριστε, ἀμώμως γὰρ ἐν βίῳ περιεπάτησας καὶ δικαιοσύνην ἐξήσκησας, τοῦ κρείττονι τὸ χεῖρον ὑποτάξασα, δι᾿ ὃ παρρησίαν πρὸς Θεὸν κεκτημένην, μὴ ἀποκάμῃς ὑπὲρ ἡμῶν αὐτῷ πρεσβεύουσα τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Καὶ νῦν Θεοτοκίον*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος τῆς Ὁσίας.

*Ὠδὴ γ΄ καὶ στ΄*

*Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος δ΄*

Ἰσχύς μου καὶ ὕμνησίς μου.

Ὁ Κύριος καὶ ἐγένετό με εἰς σωτηρίαν.

Παιδεύων ἐκπαίδευσέ μοι ὁ Κύριος καὶ θανάτω οὐ παρέδωσέ με.

*Πρὸς Κορινθίους α΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωστα*

Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ. Ἡ ἐμὴ ἀπολογία τους ἐμὲ ἀνακρίνουσιν, αὕτη ἐστί. Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν ; Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα πε-

ριάγειν ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου καὶ Κηφᾶς; Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι. Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τοῦ Μωϋσέως νόμῳ γέγραπται. Οὐ φιμώσης βοῦν ἀλοῶντα· μὴ τῶν βοῶν μέλλει τῷ Θεῷ ἢ δι᾿ ἡμᾶς πάντως λέγει· δι᾿ ἡμᾶς γὰρ ἐγράφη ὅτι ἐπ᾿ ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ᾿ ἐλπίδι. Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσωμεν, εἰ ἄλλοι τῆς ἐξουσίας ἡμῶν μετέχουσιν οὐ μᾶλλον ἡμεῖς; Ἀλλ᾿ οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ.

*Ἀλληλούϊα. Ἦχος β'*

Ἐπακοῦσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα Θεοῦ Ἰακώβ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Στίχ. Σῶσον Κύριε τὸν λαόν καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

*Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν*

Τῷ καιρῷ ἐκείνῳ ἠρώτα τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ᾿ αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλήθη· καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ. Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτόν, εἶπεν ἐν ἑαυτῷ λέγων. Οὗτος εἰ ἦν προφήτης, ἐγίγνωσκεν ἂν τὶς καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλὸς ἐστί. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν. Σίμων ἔχω σοί τι εἰπεῖν. Ὁ δὲ φησί. Διδάσκαλε εἰπέ. Δύο χρεοφειλέται ἦσαν δανεισταὶ τινί· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν, εἶπε, πλεῖον αὐτὸν ἀγαπήσει; Ἀποκριθεὶς ὁ Σίμων εἶπεν· Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖστον ἐχαρίσατο. Ὁ δὲ εἶπεν αὐτῷ ὀρθῶς ἔκρινας. Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη. Βλέπεις ταύτην τὴν γυναῖκα; Εἰσῆλθον σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας, αὕτη

δὲ τοῖς δάκρυσι ἔβρεξέ μου τοὺς πόδας, καὶ τοῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. Φίλημα μοι οὐκ ἔδωκας αὕτη δὲ ἀφ᾿ ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσα μου τοὺς πόδας. Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας, αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας· οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δι᾿ ὀλίγον ἀφίεται ὀλίγον ἀγαπᾷ. Εἶπε δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι. Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς. Τίς οὗτος ἐστὶν ὃ καὶ ἁμαρτίας ἀφίησιν ; Εἶπε δὲ πρὸς τὴν γυναῖκα. Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

*Κοινωνικὸν εἰς μνημόσυνον*

Ἀπόλυσις.

## Ε΄.

## *Κανὼν Παρακλητικὸς εἰς τὴν Ὁσίαν Παρασκευὴν*

*Κύριε εἰσάκουσον τῆς προσευχῆς μου εἶτα Θεὸς Κύριος*

*Καὶ τὸ τροπάριον Ἦχος β΄*

*Ὁ Ὑψωθεὶς ἐν τῷ σταυρῷ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Παρασκευὴν τὴν πανσεβάσμιον νύμφην τοῦ οὐρανοῦ· καὶ ἀφθάρτου Νυμφίου, περιχαρῶς συνδράμωμεν μνῆσαι οἱ πιστοὶ, αὕτη γὰρ ὑπέρμαχος ἐκ Θεοῦ ἐδωρήθη πᾶσι τοῖς δοξάζουσι τὴν αὐτῆς πολιτείαν, καὶ ἰαμάτων βρύει ποταμοὺς, τοῖς μετὰ πόθου τὰ λείψανα σέβουσι.

*Ὁ πεντηκοστὸς*

*Καὶ ἀρχόμεθα τοῦ κανόνος*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. εἱρμὸς*

*Ὑγρὰν διοδεύσας*

Ἀμέσως τῷ θρόνῳ τοῦ Παντουργοῦ, μῆτερ παρεστῶσα ἱκεσίαις ὑπὲρ ἡμῶν προσάγαγε τούτῳ, ἵνα πᾶσι τοῖς τῶν πταισμάτων δωρήσῃ συγχώρησιν.

Ἰὸν τὸν τοῦ ὄφεος πεποκὼς, θανάτου ταῖς πύλαις προσπελάσας τε ἀληθῶς, πηγὴ τῆς ζωῆς ἡ ἐντρυφῶσα, σαῖς ἱκεσίαις μὲ ζώωσον ἔνδοξε.

*Δόξα*

Νοός μου Ὁσία τὰς ἐκτροπὰς καὶ τὰς καταιγίδας τῶν ἀτόπων μου λογισμῶν στῆσον σῶον ταῖς λιταῖς σου, ἵνα μὴ μὲ εἰς Ἅδην καθελκύσωσι.

*Καὶ νῦν*

Ὁ βίος μου ἅπας ἐν ἡδοναῖς καὶ ἐν πονηρίαις μεματαίωται ἀληθῶς σὺ δὲ ἡ τεκοῦσα τὸν Σωτῆρα πρὸ τῆς ἐξόδου μου σῶσον πρεσβείαις σου.

*Ὠδὴ Γ΄. Ὁ Εἱρμὸς*

*Οὐρανίας ἁψίδος*

Νοσημάτων παντοίων, καὶ ἀλγεινῶν θλίψεων, κύματα δεινῶς ὑψωθέντα καταποντίζουσι τὴν ἀθλίαν μου ψυχὴν εἰς βάραθρον ἄδου, Μῆτερ ταῖς πρεσβείαις σου χεῖρα μοι ὄρεξον.

Δακρυρρόους λιβάδας ἀποκενοῦν χάριν μοι, ἐκ τῶν τῆς καρδίας βαθέων δίδου πρεσβείαις σου, δι᾽ ὧν ἐκπλυνόν μου τὰ δυσωδέστατα πάθη ψυχῆς τε καὶ σώματος Μῆτερ ἀείμνηστε.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Δόξα*

Ἐμαυτῷ τὰ πολλά μου ὡς συνηδὼς πταίσματα, ἄνευ κατηγόρων κατάκριτος καὶ πρὸ κρίσεως, εἰμὶ ὁ ἄθλιος, σὺ ὁ Σωτὴρ τῶν ἁπάντων φεῖσαι μου δεήσεσι Παρασκευῆς τῆς σεμνῆς.

*Καὶ νῦν*

Χαριτώνυμε κόρη, ἡ τὴν χαρὰν τέξασα ἀναφαιρέτως δοθεῖσαν παντὶ τῷ πλάσματι ζοφώσι τῆς λύπης ἣν ὁ ἐχθρὸς μοὶ ἐπάγει, νὰ ἀπωλέσῃ με σκέδασον τάχιστα.

*Διάσωσον ἀπὸ κινδύνων*

Ἀπάλλαξον ἐξ ἐπηρείας δαιμονικῆς, τοὺς σοὺς δούλους, ὁ γὰρ κτίστης σὲ ἀνεδείξατο καλλιπάρθενε, ὑπέρμαχον καὶ προστάτιν τῆς ποίμνης. Ἐπίσκεψαι ἡμῶν τὰς νόσους ἐλέῳ ὄμματί σου, καὶ γὰρ τὴν προστασίαν σου, ὄντως ἔχομεν Ὁσία, σωτήριον φάρμακον.

*Κάθισμα Ἦχος β΄*

Πρεσβείᾳ τῇ σῇ χρωμένη πρὸς τὸν Κύριον τὰς νόσους ἡμῶν ἰά-

τρευσον, ἀείμνηστε, τῆς ψυχῆς καὶ τοῦ σώματος καὶ κινδύνων πάντων ἀπάλλαξον ρυομένη τοὺς ἱκέτας σου σεμνὴ, ἀνάγκης καὶ λοιμώδους φθορᾶς.

*Ὠδὴ Α'. Ὁ Εἱρμὸς*

*Εἰσάκουσον Κύριε*

Θρηνωδίαις με λύτρωσαι τῆς αἰωνιζούσης τῇ μεσιτείᾳ σου, καλλιπάρθενε τὸν δοῦλον σου τῶν δακρύων ἄξια ἐργασάμενον.

Ἡ Θεὸν ἀγαπήσασα, ἐξ ὅλης καρδίας μισηθέντα με, ὑπ' αὐτοῦ διὰ τὰ ἔργα μου ταῖς λιταῖς σου πάλιν σὺ κατάλλαξον.

*Δόξα*

Τετραυμάτισμαι βέλεσι δεινοῖς ἰοβόλοις τοῦ πολεμήτορος καὶ δακρύων τὸν οἰκτρότατον τῆς ψυχῆς μου μόνον Χχριστὲ σῶσον με.

*Καὶ νῦν*

Ἰατρὸν ἡ κυήσασα ὃς τὸ μέγα τραῦμα τῶν βροτῶν ἰάσατο, μὴ παρίδης τὴν καρδίαν μου, δειναῖς ἀρρωστείαις κινδυνεύουσαν.

*Ὠδὴ Ε'. Ὁ Εἱρμὸς*

*Φώτισον ἡμᾶς*

Ὄλισθον δεινῶς, ἀσωτείαις εἰς βάραθρον καὶ κατακείμενος εἰς βάθος κακῶν σοι βοῶ Μῆτερ, μὴ ἐάσῃς ἀπολέσθαι με.

Ἡ περικαλλὴς τοῦ Χριστοῦ νύμφη ἡ ἄσπιλος ἐμὲ τὸν κατάπτυστον ἡδονῶν λιταῖς σου σῶσον ἡ ἐξαλείψασα τὰ αἴσχη μου.

*Δόξα*

Μή μὲ Ἰησοῦ ἀπορρίψῃς ἐκ προσώπου σου, διὰ τὸ μέγεθος τῶν σῶν οἰκτειρμῶν, δωρεὰν σῶσον ἱκεσίαις τῆς Ὁσίας σου.

*Καὶ νῦν*

Ἴασαι ἁγνὴ τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

*Ὠδὴ Στ'. Ὁ Εἱρμὸς*

*Τὴν δέησιν ἐκχεῶ*

Ἐγένετο ὡς γῆ ἄνυδρος ὄντως, ἡ ταλαίπωρος ψυχή μου μηδό-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λως, καλὸν καρπὸν, ἐξισχύουσα δοῦναι, ἀλλ᾽ ἡ ρανὶς τοῦ αἵματος Κύριε, ἐνστάξασα πάσης αὐτὸν ἀπαλλάξῃ σκληρότητος Δέσποτα.

Ρυτώσαντες ὦ ψυχὴ τὸ ἔνδυμα τοῦ γάμου πῶς τολμήσωμεν εἰσιέναι, σὺν τοῖς καλοῖς δαιτυμόσιν ἀφρόνως, εἰς τὸν νυμφῶνα Χριστοῦ τον οὐράνιον, πῶς μὴ ριφθῶμεν ἐκ Θεοῦ, ὦ Ὁσία πρεσβείαις σου σῶσον με.

Μὴ Δέσποτα μετ᾽ ἐμοῦ τοῦ δούλου σου, εἰσελθεὶν καταξιώσῃς εἰς κρίσιν, εἰ γὰρ οὐδεὶς ζῶν ἐν τῷ κόσμῳ τούτῳ δικαιωθήσεται σοῦ κατενώπιον, ἐγὼ ὁ πάντας ὑπερβὰς ἀσωτείᾳ πολλῇ, πῶς ἀφθήσομαι;

*Καὶ νῦν*

Ἐξέλιπεν ἡ ζωή μου Δέσποινα ἐν ὀδύνῃ καὶ τὰ ἔτη μου πάντα ἐν στεναγμοῖς ἡ ἰσχὺς δέ μου Κόρη ἐν ἀπορίᾳ πολλῇ ἐξησθένησε, παρώργισα γὰρ τὸν Θεὸν ὅν μοι ταῖς πρεσβείαις σου ἱλέωσαι.

*Διάσωσον ἀπὸ κινδύνων*

Ἀπάλλαξον ἐξ ἐπηρείας δαιμονικῆς τοὺς σοὺς δούλους, ὁ γὰρ κτίστης σὲ ἀνεδείξατο καλλιπάρθενε, ὑπέρμαχον καὶ προστάτην σῆς ποίμνης, Ἐπέσκεψαι, ἡμῶν τὰς νόσους ἐλέῳ ὄμματί σου, καὶ γὰρ ὄντως τὴν προστασίαν σου ἔχομεν Ὁσία σωτήριον φάρμακον.

*Κοντάκιον ἦχος β'*
*Τὰ ἄνω ζητῶν*

Νηστείαις πολλαῖς τὸ σῶμα κατατήξασα, τὸν νοῦν πρὸν Θεὸν ἀνύψωσες μετάρσιον, ζωὴν ἀσώματον, μετὰ σώματος ἔζης ἀείμνηστε, λιποῦσα τῆς ὕλης τὸν τάραχον δι᾽ ὃ νῦν ἀγάλλῃ σὺν ἀγγέλων χοροῖς.

*Καὶ εὐθὺς τὸ προκείμενον*

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἄκουσον θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσῃ ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

*Εὐαγγέλιον κατὰ Ματθαῖον*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Πάντα μοὶ παρεδόθη ὑπὸ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγιγνώσκει τὸν Υἱὸν εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγιγνώσκει, εἰμὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται Υἱὸς ἀποκαλῦψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾿ ὑμᾶς, καὶ μάθετε ἀπ᾿ ἐμοῦ ὅτι πρᾶος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.

Ὁ γὰρ ζυγός μου Χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

*Δόξα. Ἦχος β΄. Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεῆμον*

*Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλέησον*

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

*Ἦχος πλάγιος β΄*

Εἰς σὲ καλλιπάρθενε Παρασκευὴ τὰς δεήσεις ἐκχέω εἰσάκουσον, καὶ ταύτας προσάγαγε τῷ ποιήσαντι· τόλμη γὰρ ἅπασα ἐξ ἐμοῦ πέφευγε, συνειδότος τὴν αἰσχρότητα, τῶν ἐπαράτων μου ἔργων καὶ δεινῶν ἐνθυμήσεων, καὶ λόγων ἐξ ὧν πάντοθεν, τούτου τὰ ἐλέη παρώξυνα, καὶ νῦν βοηθείας δεόμενος αὐτοῦ τῆς κραταιᾶς, δέδοικα ὅλως αἰτήσασθαι σὺ σεμνὴ μεσίτευσον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ὠδὴ ζ΄. Ὁ εἱρμὸς*

*Οἱ ἐκ τῆς Ἰουδαίας*

Λελόγισταί σοι Μῆτερ, σταθερότητι γνώμης, ὥσπερ πηλὸς ὁ χρυσός· δι᾿ ὃ μου τὴν καρδίαν, κλῖνον ταῖς εὐχαῖς σου, εἰς τοῦ Θεοῦ τὰ μαρτύρια, καὶ μὴ εἰς βάθος δεινὸν τὸ τῆς πλεονεξίας.

Ἐν φόβῳ τοῦ Κυρίου, περιτείχισον Μῆτερ τὸ φρόνημα τῆς σαρκός, σκιρτῶν οἷα περ πῶλος, ἀτάκτως τε βαδίζων, καὶ πρὸς βυθὸν ἐξωθεῖσαι μου, τὴν ταπεινὴν καὶ οἰκτρὰν ψυχὴν Ὁσία.

*Δόξα*

Τίς μὲ ἀπολυτρώσει πυρὸς τοῦ τῆς γεένης καὶ σκότους τοῦ ἀφεγγοῦς τὸν ἄξιον παντοίας ποινῆς ἡμαρτηκότα εἰμὴ σὺ ἡ προστάτις μου, ῥῦσαι Ὁσία Χρυστοῦ ψυχὴ ἠπορημένη.

*Καὶ νῦν*

Ἰσχύϊ σου Παρθένε δεινῶς τὴν παρειμένην, ταλαίπωρόν μου ψυ-

χήν, περίσφιγξον, καὶ γάρ με κατέλιπε ἰσχύς μου, μηκέτι ποδηγοῦσα εἰς τρίβους τοῦ Κυρίου.

*Ὠδὴ η΄. Ὁ εἱρμὸς*

*Τὸν Βασιλέα τῶν οὐρανῶν*

Ὁ τῶν ὁσίων κατακοσμῶν τὰς χορείας, ἀγγελικαῖς ἀγλαΐαις σωτήρ μου, δέξαι καὶ τὰς τούτων ὑπὲρ ἡμῶν ἐντεύξεις.

Ὑλομανοῦσαν τῶν ἡδονῶν ταῖς ἀκάνθαις, τὴν ψυχήν μου ἔμπλησον Ὁσία, πόθῳ τοῦ Δεσπότου, καὶ δεῖξον καρποφόρον.

*Δόξα*

Κακοδοξία αἱρετικῶν τὴν σὴν πόλιν καὶ ἐθνῶν ἄλλο φύλων μανίας φύλαττε Ὁσία, λιταῖς σου εἰς αἰῶνας.

*Καὶ νῦν*

Ραθυμοτόκους ἐκ τῆς ψυχῆς μου φροντίδας, ἀποσόβει πάντοτε Παρθένε, ἵνα τὸν σὸν τόκον ἐν προθυμίᾳ μέλπω.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον*

Ἡμάρτησα Σωτήρ μου, καὶ ἀνόμως ἅπαν τὸ τῆς ζωῆς μου διέδραμον στάδιον, ὁμολογῶ ἀλλὰ φεῖσαι Χριστὲ τοῦ δούλου σου.

Τοὺς πίστεως προμάχους, ἡμῶν Ἡγεμόνας καὶ ἱερέων τὸν στέφανον φύλαττε Παρασκευὴ ἐν εἰρήνῃ καὶ λαόν σου ἅπαντα.

*Δόξα*

Εἰς σὲ Τριὰς Ἁγία, πίστει προσκυνοῦντες, μοναδικῇ ἐν οὐσίᾳ θεότητος καὶ διαιρέσει προσώπων ἀεὶ σωθήειμεν.

*Καὶ νῦν*

Σωτῆρα τετοκυῖα, σῶσον με Παρθένε, τὸν ἀσώτοις βιώσαντα πράξεσι, καὶ σωτηρίας ἐλπίδα μὴ ἔχοντα.

*Μεγαλυνάρια*

Τὸν τῆς ἐγκρατείας ὑπογραμμὸν καὶ τῆς Μολδαυΐας τὸν ἀέναον ὀχετόν, τὴν βρύουσαν κρήνην ἰάσεων πελάγη, Παρασκευὴν τὴν θείαν σεπτῶς τιμήσωμεν.

Ἀπόλυσις.